QK. 239. 5.

Za 5340

# BUCCINA POETICA

quâ

VITA & FAMA

VIRI

ADMODUM REVERENDI

ET CLARISSIMI

# Dn. JACOBI CLAUDERI,

## SS. Theolog. Licentiati dignissimi,

Ecclesiæ Delitianæ Pastoris fidelissimi, nec non Vicinarum Superattendentis vigilantissimi,

*post actum*

INAUGURATIONIS

in Æde Delitianâ

28. Aprilis

*solenni festivitate habitum sono ac tono incondito decantabantur*

*à*

M. ANDREA PETERMANNO WERBELINensis & Brodensis Ecclesiarum Pastore,

*Anno*

τῆς παρθενολοχέυσεως

cIↃ IↃc LII.

X 204 7905

BIBLIOTHECA PONICKAVIANA

*Lipsiæ, Literis Lanckisianis*

Exscribebat Christophorus Cellarius.

UNIVERSITÄTS-BIBLIOTHEK HALLE (SAALE)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0001-0

# MEMORIÆ SACRUM.

## Nomina tum temporis PASTORUM

Ephoriam Delitianam agnoſcentium; Collocata ordine, qvem Vocatio ad officium Sacerdotale unicuiqve ſic adſignare poſſe viſa fuit:

*Amicis aliàs extra Ordinem poſitis.*

Dn. M. Gabriel Scholler/ Archi Diac. Delit. geminâ vice, vacante ſede, Superintendentis locum tenens vocatus eſt, Anno 1621. Menſ. Decembr.

Dn. M. Johannes König/ Paſtor in Schenckenberg/ an. 1607.

Dn. Matthæus Chemlinus, Paſtor in Löbnitz/ 1614. m. Maj.

Dn. Caſpar Günther/ Paſtor in Cöſeln/ anno 1615. m. Decem.

Dn. M. Johannes Henne/ Paſtor in Oſterau/ 1616 m Decemb.

Dn. M. Johannes-Valent. Pfeil/ Paſtor in Geutz/ 1624. m. Maj.

Dn M. Johannes Opell/ Paſt in Landsberg/ an. 1626. m. Febr.

Dn. Paulus Harder/ Paſtor in Wiedemar/ anno 1626. m. Jun.

Dn. Daniel Schimpff/ Archi Diac. in Zörbig/ 1626. m. Octob.

Dn. Andreas Prætorius, Paſtor in Liſſa/ anno 1631. m Novemb.

Dn. Paulus Saur/ Paſtor in Tzſchorta/ anno 1631. m. Decemb.

Dn. M. David Dimpel/ Paſtor in Zörbig/ anno 1632.

Dn. M. Zacharias Avenarius, Paſtor in Spören/ 1632. m. Mart.

Dn. M. Christianus Colbius, Paſtor in Golm/ 1634. m. Maj.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0003-1

Dn. Christmannus Bornmann/Diac. Delit. anno 1635 m. Jun.
Dn. Michael Reinhard/Pastor in Gletzen/anno 1636. m. Maj.
Dn. Elias Francke/Pastor in Walteritz/anno 1637 m. Augusti.
Dn. M. Gregorius Luppe/ Pastor in Kühna/anno 1637. M, Dec.
Dn. Johannes Matthæus Zeiß/Pastor in Glesien/ 1637. m. Dec.
Dn. M. Andreas Petermann/Past. in Werbelin/1638. m. Mart.
Dn. Chistianus Plochius, Pastor in Kütten/anno 1638. m. Jun.
Dn. M. Heinricus Gramm/Pastor in Möst/ Anno 1639.
Dn. M. Fridericus Froberg / Pastor in Podelwitz/ Anno 1640.
Dn. Daniel Ludovici, Pastor in Kreuma/ Anno 1641. m. Febr.
Dn. Samuel Fischer/Pastor in Brinnis/anno 1641. m. Febr.
Dn. Christoph. Völckner/Pastor in FreyRoda/1642. m. Oct.
Dn. M. Martinus Lehmann/ Pastor in Zwocha/ 1643 m. Maj.
Dn. Heinricus Oezelius, Pastor in Stumsdorff / 1643. m. Jul.
Dn. David Wolff/Pastor in Döbernitz/anno 1646. m. Nov.
Dn. Gabriel Sorger/Pastor in Sietzsch/anno 1646 m. Dec.
Dn. Johannes Andreæ, Pastor in Selben / anno 1647. m. Oct.
Dn. Martinus Rothe/Pastor in Naundorff/anno 1647.
Dn. Johannes Beumling/Past. zum Petersberg/1647. m. Oct.
Dn. M. Christophorus Scharschmid/ Past. in Spröda/ 1648.
Dn. Caspar Sperbach/Diac. in Zörbig/anno 1649. m. April.
Dn M. Gottfried Kronbiegel/P. in Tzschernitz/1650. m. Febr.
Dn. Theodorus Weidmann/Pastor in Klepzig/ 1650. m. Dec.
Dn. Martinus Weisse/Pastor in Radefeld/anno 1652. m. Febr.

(: Duæ vacabant Parochiæ.

A. Ω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0004-7

# Α. Ω.

Πουλυδαεῖς προτέροισιν ἔνοις διαγόντες Ἀοιδοὶ, *Hesiod. Op. & D.*
Ὁππότε κλεινοτάτων μεγαλοπρεπὲς οὔνομα φωτῶν *Homerus*
Ἀδέμεν ἡδυθρόοις ἤρξαντο μέτροισιν, ἐς ἄλκαρ *Od. α.*
Πιερίδας κάλεσαν Μούσας καὶ κοίρανον αὐτῶν βατρα-
Ἀπόλλωνα θεὸν ψευδίστατον. Αὐτὰρ ἐγώνη χομ.
ΚΛΑΥΔΗΡΟΥ μέθεν σεμνοπρεπὲς οὔνομα νυνὶ *Ap. Herm.*
Ἄνθεσιν Ἀργείων ῥήτρης περιβαλλέμεν ἄρχων *Coint.*
Πνεῦμα πρὸς ἀέναον, κτισέων τεχνήμονα πάντων, *Smyr.*
Ὄρχαμον ἀτρεκίης, ὀχετηγὸν ἐς ἀτραπὸν ὀρθὴν, *Tryphiod.*
Νειόθεν ἐκ κραδίης στοναχῶν πτερὸν ἔνθεν ἀείρω, *Orph.*
Ἠδὲ περικρύω ζαθέοιο θύρετρον Ὀλύμπου
Τοῖσι λιλαιόμενος μύθοισιν ὀνήσιμον ἄλκαρ.
Πνεῦμα θεοῦ, κύδους ἐτεοῖο Διδάσκαλε σεμνὲ,
Σοῖσιν ἐλαυνόμενος κέντροις πεπλέρωσεν Ἰησοῦς
Εκλιε Σειρακίδης ἐνδόξων κληδόνα φωτῶν, *Sir. 44, 1.*
Σοῖσιν ἐπειγόμενος κἀγὼ κέντροισιν ἀείσω
Αντολίην ΕΦΟΡΟΙΟ μέθεν, βιότητα, φυλήν τε,
Ἰδμοσύνην, διδαχὴν, τρόπον, ἠδ᾽ ἐρικυδέα φήμην,
Καὶ τῇ τὴν τιμὴν δώσω πρεσβηΐδα τιμήν.
Σεῖο κελευσμοσύνῃ καθάπερ μὲ καὶ ἄλλον ἀνώγει.
Οὐρανόθεν καταβὰν κραδίην μεο πίμπλανε δαλὴν, *Rom. 13, 7.*
Ὡς σέθεν Ἡγεμόνος, μεσάτην καὶ ἀταρπὸν ἰδεύσας
Ἠδὲ διαβολίην καὶ ὑπόκελσιν ἶφις ἀλύσκω.
Κλῦτε, περὶ γεραρῶν ἐν ἀοιδημοῖο Τοκήων
Εὐλογίης, δέχην ποιῶ χαρίεσσαν. Ἄεισον

*Matth. 7, 18.*
Καρπὸν ἀπ' αἰ δένδροιο κακῦ τὶς πώποτε δρέψεν;

*Theogn. sentent.*
ἔτω καὶ μερόπων καλῦς ἐκ Φιλοκάλοιο
Σπέρματος εἰς κόσμον γεγαῶτας ἐν ὄμμασι δέρκω.
Τὔνεκέν ἐν πρώτοισι καλὴν γνωρίζετε ῥίζαν
Ῥίζαν ΚΛΑΥΔΗΡΟΥ μέσθεν, Γενέθλεα καλῆθη.

Εἰνὶ ΠΑΛΑΙΠΥΡΓΩ (λαοτρέφον ἄςυ πέφυκε

*PATRIA Altenburgum.*
Σαξονίδος μεγάλων περικύδιμον ἔνδιον Ἀρχῶν)
Ναιετάεσκε πάλαι τε καὶ ἄςυ πολύχρονος οἰκεῖ
Ψευδοκάρηνος Ἀνὴρ, ἐξ σφῶν ἰότητι γονήων

*PATER M. Josephus Clauderus.*
Οὔνομα δὴ βαπτισμόδοτον κίκλησκον ΙΩΣΗΦ,
Αὐτὰρ ἐπωνυμίην προγόνων, γονέοσι, τέκεσι.
Καὶ κατόπιθογόνων πᾶσαν κατὰ Πατρίδα φρήτρην
Χείλεσι ΚΛΑΥΔΗΡΟΝ παγκοίνοις ἐξονόμηναν.

*Etymologia Nominis Clauderiani.*
Οὔνομα ΚΛΑΥΔΗΡΩΝ τηλεκλυτὸν ἦεν ἐσαιεν
Οὔνομα, Ῥωμαϊκῇ γλώττῃ ΚΛΕΙΔΟΥΝΤΑ πιφάσκον.
Ἠματα γὰρ νήεθμα πολεῖς τῆς ἔδρακε φύτλης

*Matth. 16. 8. 19.*
Ἄνδρας ἐνηνοχότας πυριφεγγεῖς κλεῖδας Ὀλύμπου.

*Vir*
*Pius*
*Integer*
*& Eruditus.*
Αἰνετὸς ὃς καὶ Ἀνὴρ δρηστῆρι κεκασμένος ἐσθλῆς
Θεσπέσιον τὐκλαςε καὶ ἤματα θεσμὸν ἀείδων,
Εὐδικίῃ καὶ ἀκηρασίῃ μεμελημένος ἁγνῇ,
Θευλογίην, φυσικὴν, ἰδὲ μέτρα πολύτροπα ῥήτρης,
Ἠμὲν ἐπιςήμας γλώσσης ἐνὶ πλείοσιν ἄλλας

*Poëta quoq; Eximius, præsertim Lyricus.*
Παντοτελὲς δεδαὼς τε καὶ ἀγλαὸν ἄνθος, Ἀοιδῶν,
Ἄνθος τῶν Λυρικῶν ἐνὶ Μισνίδι πρῶτον ἀοιδῶν,
Τέσσερες ὡς ἁγίων ἑκατοντάδες ἔφραδον ᾠδῶν,
Ἅσπερ ἀποιχομένης ποιῆσι φόωσδε προῆκεν
Ἠδὲ κατόπιεσθαι τοῖς ὀψιγόνοισιν ἔδωκε.
Τὔνεκα πανδήμοις ςομάτεσσι βοημένος, ἠδὲ
Μείζοσι καὶ σμικροῖς πεφιλημένος ἀνδράσιν Ἀνήρ.

*Rector quondam scholæ Altenburg. per annos XXI. Nunc Archidiac. ibid. in annum XIX. adeoq; ferè Septuagenarius emeritus, decumbensq;.*
Τῇσι δαημοσύνης δρηστῆρσι τ' ἔπειτα λέλογχεν
Εὐμενίην Ἀρχῆς τε καὶ εἷο θελήματι τάχθη
Ἄξιος ἰθυντὴρ ἐξ δηθάκις ἔνθα σχολείου,
Ὀψὲ γ' γηραλέος ζαθέων ἐνὶ δώμασι νηῶν
Ἡδυεπὴς μύθοιο θεοπνεύςοιο Καλήτωρ.
Σήμερον ἀσθενίης βεβολημένος ἄχθεσι πληρής

Ἡμὲν

Ἡ μὲν ἐν ἀργαλέοις γήρως πεπεδημένος αἰνοῦ,
Δέσμασιν ἐκ πραπίδων παρὰ παντομέδοντος Ἄνακτος
Αἰτίζει γλυκερὴν μογεροῦ βιότοιο τελευτήν.
Οὗτος ἐν ἡλικίης θαλερῷ φιλογηθέος ἄνθει
Οἴκαδε κουριδίην παράκοιτιν ἐσήγαγε καλήν
(ἐξονομακλήδην τῇ τοὔνομα ΒΑΡΒΑΡΑ μὲν δὴ
Ἀλλὰ μένος λόγον ἠδὲ τρόπον φιλοβάρβαρος οὐκ ἦ)
Αἰὲν ἀριστόνοον, ΜΙΧΑΗΛΟΣ παῖδα ΝΕΑΝΔΡΟΥ
Εἰνὶ Νεοσταδίῳ πτολιέθρῳ πλησίον Ὄρλης
Ῥῆμα διδάξαντος θεῖκὸν θείκοισιν ἐν οἴκοις
Παρθενικὴν πολλῶν ἀρέτῃσιν ὑπείροχον ἄλλων
Ἁγνοπέλου κατὰ τάρσος ὁμοῦ καὶ ἔρωτα θεοῖο
Σωφροσύνης καθαροῖσιν ἐν ἤθεσιν αἰὲν ἀγοῦσαν,
Τέκνα τε καί τε δόμον συνετῶς δεδαυῖαν ἀγεῖσθαι.
Ἠδὲ τελεσιγόνῳ γαμίοις φίλτροισιν ἐν εὐνῇ
ΚΛΑΥΔΗΡΟΝ τοῦτον γαυρῇ γέννησε γενέθλῃ,
Νήπιον ἀμφιθαλῆ μορφήν τε φυήν τε φιλήν.
Οὐρανὸς ἀστερόεις εὐδαιμονίσασκε γενέθλην,
Δὴ τότε γὰρ φωτῶν θέμα τοῦτο πέφυκε Πλανήτων,
Οἷς μικρόκοσμος ὁμοῦ κανονίζεται, ὡς μακρόκοσμος.
Λοίσθιον ὑψίπολος Κρόνος εὐχοδότηρος ἐνάθη
Τοῖο Μεσουρανίου πεῖραρ μετὰ σήματι Ταύρου.
Ξανθοφαὴς Κρονίδων ἀστέρων πανάρεστος ἀγαυῶν
Ὠκυπελὴς ἔκδυνεν ὀπισθοπόροισι πεδίλοις
Γωνιδίου δυτικοῦ διὰ πείρατος Αἰγοκέρωτος.
Ἐν μεσάτῳ τριτάτοιο δόμου πυροποίκιλος Ἄρης
Ἔδραμε παρθενικῆς ἀφέροιο πρὸς ὦπα τριταῖον.
Ἥλιος αἰγλήεις κατὰ τείρεα παμφανέοντα
Μέσσατος ἐν γλωχῖνι δυωδεκάτοιο δόμοιο.
Ἔστατο Καρκίνου μετὰ τοῦ τυχικοῖο κυλίνδρου
Σῆμα διατρεχέων, τὸν εὐτραπελώτατος Ἑρμῆς
Ἡ μὲν ἐρωτοτρόφος Παφίη νοσοῦντι πεδίλῳ
Συζυγέες συνέποντο δόμοιο παρεγγὺς Ἑῴου.
Ἑνδέκατον χαροπὴ κατενάσσατο δῶμα Σελήνη.
Λείοντος φλογεροῦ κεφαλὴν ὡροσκόπος αἰχμή.

*MATER Barbara.*

*ex Patre M. Michaële Neandro Archidiac. Neostadiensi.*

*Pia. Casta. Oeconomica.*

*NATIVITAS facta Anno Christi 1617. d 20. Jun. h. 6. matut.*

Χρυ-

Χρυσοπόκοιο μέσον Κριοῦ σχέθεν ἦτορ ὀλύμπου.
Ταῦτα διαμπερέως περιπαπλαίνοντες ἅπαντες
Εἰδότες ὑψιπόρων δύναμιν, θεόσδοτον ἄστρων
Οὐ κακὸν οἶον, ἀτὰρ μετὰ τοῖο πολύῤῥοον ὄλβον,
Μηκεδανὸν βίοτον, φύσιν ἱμερόεσσαν, ἐραννὰ
Ἤθεα, θελξίνοον κῦδος, γλυκερήν τε τελευτὴν
Ευμενέως σωμάτεσσι προφηλευέντεσιν εἶπον.
Τὴν μὲν ὑποσχεσίην ἐνὶ σταματικοῖσιν ἔθοντο
ΚΛΑΥΔΗΡΩ/μέοθεν ρ. παὶ παμφεγγέες ἄστρων,
Ἀλλὰ ΘΕΟΙΟ χάριν, κακιῶν ἄφεσίν τε φιλίστην
Συμφυέων πρηκτῶν τ' αἰώνιον ἔψε βιώτην,
Ἀλλά τε πνευματικὰ προσενεγκέμεν ἀστεροφεγγὴς
Οὐρανὸς ἀθενέει. Κακιῶν ἀπάνευθεν ἁπασῶν
Οὔτις Ἀδαμογενῶν ἐκ κόλπων μητρὸς ἱκάνει
Ὀλβιοδειξότατος κάπος πόλος εἰνὶ γενέθλης
*Joh. 3. 6.* Ἤματι. Σαρκόφυτα βλαστήματα σαρκικὰ πάντα,
Ἠδὲ χαμαιγενέων οὐδεὶς βιότητος ἀλήκτου
Νόσφι παλιγγενέος μετέχειν τοκετοῖο δυνηρός.
Τοὔνεκα χριστιανοῖς γενετῆρες ἐν ἤθεσι πυκνοὶ
Αὐτίκα νηπίαχον, τρίτον ὡς ἐπέτειλε θοραίου
Ἠελίοιο φάος, ποτὶ νηὸν ἀγαυὸν ἔπεμψαν,
Ἧχι θεοκλύστου βαπτίσματος ὕδατι νιφθεὶς
*Baptismus* Εἰνὶ χοροῖς ἁγίων πολίτευμα λάχεσκε φέριστον.
Οὔνομα θεσπεσίου κλυτὸν ἐνθάδε σῆμα λοετροῦ
*Nomen Jacobus significans Conculcatorem Gen. 25. 26.* Ἔσκεν ΙΑΚΩΒΟΣ Τριπτῆρα πιφάσκον ἑβραίοις.
Οὔνομα νηλεκέως οἰωνὸν ὕπισχεν ἄριστον
Ῥήμασι δεικνύμενον θεϊκοῖς σκολιοῖο Δράκοντος
Νηπύτιον τρίψοντα δόλον καὶ ψευδέα μῦθον.
Τὸν μετέπειτα χρόνον θαλερὸν βρέφος ηὔξανεν ἀλκῇ
*Pueritia.* Σώματος ἠδὲ νόῳ σοφίης πληρωθὲν ἐραννῆς
Καὶ μέρος ἡλικίης πρῶτον μακάριστα καθεῖλκεν.
Αἶψα ἢ τεκνόφιλοι γονέες μαλακοῖσιν ἐν ἔννοις

Κα.

Κουριδίοιο φύσιν πινυτόφρονα τοῖο νόησαν,
Θὠὐτὸν εὐμαθίης, παλαιῶιον εἰσάπαν ἦθος,
Τῆσί τ' ἐλευθερίοις ἐπιτηδέα θυμὸν ἰδρείης.
Τοὔνεκεν ἱερόφιλον μεγάλοιο θεάνδρος ὅμιλον
Οὐ θέλον ἐκ κακίης συλεύειν σύμφορον ἄνδρα,
Ἀλλὰ τοιοῦτον ἔθεν κνιάτων πρώτιστον ἔχεσκον
Ὡς κόρος Ἰσμενίων ἐξ ἀνθερεῶνος ἐνηοῦς
Παντοίων διδαχῶν γάλα διψαλέοισιν ἀμέλγῃ
Χείλεσι καὶ προγόνοις γάνος ἠδὲ τοκεῦσιν ἐγείρων.
Πρῆγμα κακοφροσύνης πάντες τελέουσι γονῆες
Ἡνίκα παντοδαποῦ θεόφιν πλούτοιο γέμοντες
Μειλιχίης Μούσης τῆς ὄψιμον ἀγλαοδώροις
Παῖδας ἐπιτρεπέμεντε καὶ εὐφυέας μὲν ἐόντας
Ἐκ φιλοχρημοσύνης κακοκερδέος οὐκὶ θέλουσιν.

*Injurii in Ecclesiã & Politiam illi Parentes, qui filios ingeniosos Musis consecrare nolunt.*

Ὠφελίμας τέχνας παρόθεν δεδιδαγμένον εἶναι
Δημοσίως κλῆρον πολυφέρτατον ἐξαγορεύω.

*Optimum patrimonium.*

  Αὐτόματος ἢ πάτρης φιλικῆς ἐνὶ πατρίδος αἶα
Δὴ τότε θυμόσοφος δήμου σχολικοῖο κύβερνος
Τῆς γε διδασκαλίης σταθερὴν διάθηκεν ἀπαρχὴν,
Ἠδὲ Κατηχισμὸν θεϊκῆς κρηπῖδα σοφίας,
Γράμματα, Ῥητορικὴν, Λογικὴν, Φυσικήν τε δίδαξε.

*Vita Scholastica.*

Τοῖσι γὰρ ὀρθαλέως δεῖ πρὶν σπουδαζέμεν ἄνδρα,
Ἀκροτέρων διδαχῶν πεπεδημένον ἔνδοθι θεσμῷ.
Λοιπάδες, οἷς πάτρη χαρίεντα τροφίσματα δῶκε,
Παιδεῦσαι κόσμησαν ὁμοῦ πατρὶ παῖδα πρεπούσης
Πρωτομαθέσσι κόροις γλώσσης τε, τέχνης τε, τρόποις τε.
Καὶ τὸ πόνημα σοφὸν κόπος οὐκ ἀποφώλιος ἔσκε.
Παῖς γὰρ ὑπωρόφιος μάλα παυελδίοισιν ἐν ἔννοις
Ἀξιοθαύμαστος πολέεσσιν ἀέξετο τέχνης
Ἀξιοθαύμαστος πολέεσσιν ἀέξετο γλώσσης
Ἑβραίων γλώσσῃ, Δαναῶν τε καὶ Αὐσονιήων,

*Adspirans ad disciplinas Principales, anteà est probe informãdus in Instrumentalibus.*

*Exercitia Scholastica.* Ἠδὲ δαημοσυνῆς πρὸς ἐπαινετὰ τῶνδε σχολείων.
Ἤθεα πρευμενέως τεκμήρια φαῖνε πρόδηλα.
Τὼς δὲ θεοῖο χάριν δέχεται γόνος ἠδὲ μαθητὴς
*Sirac. 3. 9* *Eph. 6 3.* Ἐν κραδίῃσι φέρων φόβον ἠμὲν ἔρωτα θεοῖο,
Ἠδὲ διδασκοῦντας κυδαίνων ἠδὲ τοκῆας.

Ἐξοπίσω πινυτῇ γεραρῶν ἰότητι γονήων
*Vita Academica.* Ἤθεος πάτρηθεν ἔβη πλεόνεσσι μεμηλὼς
Ἰδμοσύνῃ κατὰ πραπίδας μάλα μουτοπαλάκτους,
Οἴκοθι πάντα χρόνον διάγειν νεαροῖσιν ὄνειδος.
Ἄντρα τε τῶν Μουσῶν καθυπέρτερα κραιπνὸς ἐπῆλθε,
(Τὰς Ἀκαδημείας λιπαρῶν φάτο δῆμος Ἀθηνῶν)
*Jena & Wittenberga per 12. annos acta.* Ἄντρα τὰ χεισολέγων Σαλήϊδος ἔνδον ΙΗΝΗΣ,
ΛΕΥΚΟΡΕΗΣ τε κλυτῆς μάλα δηθάκις ἱερὰ Μουσῶν.

Ἡβητῶν πολέας, πυκινόφρονες οὕς κε τοκῆες
*Querimonia de multorum studiosorum.* Ἐνθάδε πρὸς τὶ μαθεῖν δαπάνης πέμπουσιν ἀμέτροις,
Ὄμματι δακρυβλέτοις δερκέσκετε πολλάκις ἄνθος
Τερπνοτάτης Ἥβης ὀλέκοντας ἐν ἔργμασιν αἰσχροῖς.
Ἄλλος ὑπαυχένιον σατιά, πανονείδιον ὕπνον
*Ignavia.* Ἡμαλος θλίβει. Νυχθήμερον ἡδέος οἴνου
Ἄλλος ἀμοιβαίοις θροέων δεπάεσσιν ἀπαθεῖ.
*Luxuria.* Ἄλλος ἀναιδομένως Ἀφροδίτης ἔργα τελείει,
*Lascivia.* Ἔργα βδελυκτὰ ΘΕΩ τε καὶ ἀνδράσιν οὐρανοφοίτης.
Ἥτιν ἀτασθαλίης βαρυπήμονα μῆνιν ἀέξει
Παγγενέταο ΘΕΟΥ, χροὸς εἶδος ἄριστον ὀλέσκει
*Sir. 19.3* Ἠδὲ γονεῖς λυπεῖ νεαλῆς αὔξησιν ἀλέξων.
Ἠὲν ἀλιτροσυνῆς ἱλαρῶν γέννητρα κάκιστον.
Αὐτὰρ ὁ ΚΛΑΥΔΗΡΟΣ τοίων αἰώνιος ἐχθρὸς
*1. Joh. 3, 8* Ἔσκεν ἀτασθαλιῶν, καὶ ἀπεχθήρασκεν ἅπαντας
τοίων ἐργατίνας, καὶ βελτιόνεσσιν ἐν ἔργοις
τοὺς Ἀκαδημαϊκοὺς εὐρωστὶ διήγαγεν ἔννους
Εὐσεβίῃ, σοφίῃ μεμελημένος ἠμὲν ἰδρείῃς.

Πρῶτα γὰρ ΦΙΛΟΣΟΦΩΝ λογίης διδαχῇσιν ἄνοικτα.
*Studium Philosophicum.* Ὦτα δι᾽ ἠνεκέως πέρ, καὶ μενέεσσιν ἀόκνοις
Κύκλον Ἀριστοτέλους τὸν πανθρύλλητον ἕλιξε.

Σήμε-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0010-0

Σήμερον οὐκ ὀλίγους Νεαρῶν ὑπατήσιν ἰδρείης
Σπουδάζοντας ἄφαρ, καὶ φιλοσοφήματα πάντα
Δυσμενέως ἀθελοῦντας εἴδες. Βλαβόεσσα μενοινή.
Οὐ μόνον ἠσύχαζον, πινυτόφρονες ὥσπερ ἔρουσι,
Φιλοσοφία πέλει μελέτημα τὸ στέριον ἰαῦνον.
Ἀλλὰ καὶ ὠφέλιμον ξυμπάντεσιν ἄκρα φιλοῦσιν,
Ὠφέλιμον Δικανοῖς, Ἰητροῖς, θειολόγοις τε.
Παῦλος ὁ θαρσαλέος ΧΡΙΣΤΟΙΟ θεανδρὸς ὀπάων
Φιλοσόφων ἀπάτας πεφύγειν ἀναφανδὰ κελεύων
Μοῦνον ἀπόχρησιν κωλύει φιλοσοφίας.
Τοὔνεκα ΚΛΑΥΔΗΡΟΣ τοῖς φιλοσοφεχθέσιν ἐχθρὸς
Φιλοσόφησεν ἅλις, πρὶν θειολόγησεν ἀκριβῶς.
Ἠδὲ τὸ φιλολογεῖν ἐπὶ φιλοσοφήμασι πολλοῖς
Ἔνθα καὶ ἔνθα σαφῶς πολλῆς ἀσκήσατο σπουδῆς.
Τοῦτο περὶ κλίσεως περὶ γραπτῶν γραπτὰ παλαιῶν,
Καὶ περὶ Πάσχοντος καλὰ θήματα καί τε Ποιοῦντος
Ἠδὲ καθηγαμένη Κριτικῆς μυθήσατο τέχνη.
Τοὔνεκα καὶ μετέπειτα ΜΑΪΣΤΟΡΟΣ οὔνομα κλειτὸν
Δεξάμενος δαπανῶν ἐθίμων μόνον ἐγγυάλιξεν
Ἥμισυ. Μαρτυρίη τοὔμπροσθε Μαΐστορος ἔσκε
Μίτρα δαημοσύνης παντοίης ἀξιόπιστος,
Ἀξιοπιστοτέρη δαπανῶν μόνον ἥμισυ δοῦναι.
Τὸν μετέπειτα χρόνον σπουδάσμασιν ὤπυσεν ἱρῆς
ΘΕΥΛΟΓΙΗΣ τέχνην Παιήονος ἠδὲ φρόνησιν
Βαρθολικὴν προλιπὼν τελοσῶν μενέεσιν Ἀδελφῶν,
Ἠδὲ θεορρήτων ἁγιώτατα γράμματα βίβλων
Ἤματα καὶ νύκτας πυκινῇ γνώρισε μενοινῇ.
Πρόσδοτο πολυκαλίμων ἱερόγραφα σέλματα Πατρῶν
Πρὸς τὸ βεβαιοῦσθαι βιότητος ἐτήτυμον οἶμον.
Ἀντιδίκων σελίδας Πατρὸς ὑψιμέδοντος ἔπαινον
Ἠδὲ πολυσμάραγον κῦδος Χριστοῖο θεανδρὸς
Ἄκρα χαλεπτοῦντας καταλεγχέμεν ἔκμαθεν ὀρθῶς.
Ἀλλὰ ἡ φιλοσοφῶν σπουδὴ τολύπευσεν ἄκνως
Πλειστάκι φιλολογῶν ἐπὶ τῆς κεφαλῇσι φερίστης

*Qverela de Osoribus Philosophiæ.*

*Studium philosophicum ut jucundissimum ita utilissimum.*

*Coloss. 2, 8.*

*DISPUTATIONES publicæ Jenæ habitæ,*
*1. de Antiqvitate sub Cl. D. Dilherr. d. 7. Junii 1638.*
*2. de Creatione sub Dn. D. Himmel. d. 6. Dec. 1638.*
*3. de Agent. & Pat. sub Cl. Stahl. d. 21. Decembr. 1639.*
*HONORES Magistrales Jenæ oblati d. 6. Febr. 1640.*
*STUDIUM THEOlogicum.*


Ταῦτα

*DISPUTATIONES publ. VVittenbergæ habitæ.*

1. *de Critica sub Cl. Ostermann. d. 26. Nov. 1645.*
2. *de Occas. περὶ γραμμ. d. 23. Decembr. 1645.*
3. *de eâdem Materia d. 7. Febr. 1646.*
4. *super c X. Ep. Hebr. sub D. D. Lyser. d. 17. Septembr. 1647.*
5. *de Providentia DEI sub Dn. D. Hülsem. d. 29. Jun. 1644.*
6. *de Peccat. in Spir. S. sub Dn. D. Martin. d. 21. Maj. 1646.*

*COLLEGIA Epistol. & Orator aperta Jenæ Philolog. sup. c. Nep. & Senec. de Tranqvillit. VVitteberg.*

*ORATIONES de Resurr. Christi Jenæ 39. de εὐθυμία Witteb 1646 habitæ.*

*CONVERSATIO cum Dn. Profess.*

*PROMOTIONES 1. ad Honor Licent. & simul Conjug cum Anna-Barbara Dn D. Hülsm. filia primogen Lips. d. 30. April. 1650*

Ταῦτα τε θειολογῶν σπουδῇ τολύπευσεν ἀίκνω
Πλειστάκι Φιλολογῶν ἐπὶ τῆς κεφαλῆσι φερίστης
οὐρανίης διδαχῆς ὑπάτοιο Πρόνοιαν Ἄνακτος
Καὶ τὴν ἀμπλακίην κατὰ πνεύματος ὑψιθόωκου,
Ηνπερ ἀτύγγιωςον παῖς Ἀθανάτοιο Κρέοντος
Μουνογενὴς, ΧΡΙΣΤΟΣ ΘΕΟΣ, ἐξονόμηνε σαφέως,
Ηδὲ μέρος δέκατον πρὸς ἑβραίους ἐκκορυφώσας.
Οὔσκε διηνεκέως ἐν τῷ παιδευέμεν ἄλλους,
Εν τῷ δημοσίως μελετᾶν τε καὶ ἀντιτίθεσθαι
Φιλολογοῦσι λόγους ἐτύμοιο πρόσχημα φέροντας
Εξεπόνησε πόνους τε καὶ ἄλλα κλεεννὰ σιωπῶ.
Αρχιος ἦν μάρτυς τούτων ὁ ΓΕΡΑΡΔΟΣ Ἰήνης
Κῦδος ἀπειρέσιον, κλειτὸς Κορυφαῖος ἁπάντων
Εν χθονὶ Τευτονίῃ περιέρης ποιήσιν ἀγόντων
Θειολόγων, Μάρτυς προπανάρχιος ἔσκε ΛΥΣΗΡΟΣ
Λευκορίης κῦδος τε καὶ ἔνθα θεηγόρον ἄστρον.
ΜΑΡΤΙΝΟΣ τε νόον πολιὲς, πολιός τε κάρηνον.
Μάρτυρος ΥΛΣΜΑΝΝΟΣ, οὗ νῦν κλέος οὐρανὸν ἵκει,
Εν τοῖς θειολόγοις, ἃς ἐν λιθάκεσσι διαυγὲς
Μάργαρον, ἐν λαμπροῖς ἄστροισι Φαεσφόρος ἴζων.
ΙΜΜΕΛΙΟΣ, ΜΑΪΩΡ, ΔΙΛΛΕΡΡΙΟΣ, ἠδὲ ΡΟΒΗΡΟΣ,
Λευκορέης πύματος, πρότεροι τρεῖς ἔνδον Ἰήνης
Στέντορες ὑψηχεῖς διδαχῆς τῆς οὐρανοφάντου
ΣΧΑΡΦΙΟΣ, ΟΣΤΕΡΜΑΝΝΟΣ, ἰδὲ ΣΧΛΗΒΟΥΓΤΙΟΣ, ἠδὲ
ΟΡΣΤΙΟΣ, ἀκροφυὴς ΣΤΑΛΙΟΣ, ΖΕΙΣΟΛΔΟΣ ἐραννὸς,
Δοιοὶ Λευκορέης καὶ τέσσαρες ἔνδον Ἰήνης
Γλωσσῶν, ἰδμοσυνῶν, τεχνῶν τε διδάκτορες ἱρῶν,
Ηδὲ μελιγλώσσων στέφανος ΒΟΥΧΝΗΡΟΣ ἀοιδῶν
Αμμιγα συντελεστέων, συσσίτων ἠδὲ συνοίκων
Μαρτυρίην ἀναμὶξ οὐκ ἠνήνατο πιφαύσκειν,
Τῶν ῥα διδασκαλίῃ καθαρῇ, φιλότητί τε σεμνῇ
Χρήσατο δηθὰ καλῶν πληρώμενος ἰδμοσυνάων.
Αρτι δὲ μαρτυρίην περίδηλον ἔδοτο ΣΥΝΕΔΡΩΝ
ΘΕΥΛΟΓΙΚΩΝ πίσυρες κατὰ Λιψίδος ἀγλαὸν ἄστυ
Τῷ μὲν ΚΛΑΥΔΗΡΩ δυνάμιν τε δίκαιτε πόροντες
πρὸς τὸ λαβεῖν τελετῆς ἐθάδεσσιν, ὁπηνίκ᾽ ἀδήσῃ.

Εἶτα

Εἶτα περωνυμίην Δόκτωρος θειολόγοιο
Τοῦτο κλέος Λατίοισι ΛΙΚΕΝΤΙΑ κοινὸν ἀκούει.
Δὴ τότε διπλάσιον κλέος ἔλλαχε Φαιδρὸς, ἐν αὐτῷ
Ηματι γὰρ γέγονεν καὶ ὁμοῦ Φερέοικος ἀκοίτης
Εἰνὶ θεοδμήτοις τῆς Λιψίδος ὀφρυοέσσης
Δώμασιν Υλτμάννοιο γονῇ τῇ πρωτογενέθλῳ
Δέσμασιν ἀρρήκτοισι γάμου συζευγμένος ἁγνοῦ.
Ἀλλὰ τί γηγενέων φλυαρήματα μοῦνα σινάπτω;

*2. ad Pastorat. & Adjunct. Luccav. in Patria d. 26. Jun. 1646.*

Ηνίδε Παμβασιλεὺς ΘΕΟΣ εὔχος ἅπασι κομίζων
Εἰνὶ δικαιοσύνῃ τόδε μαρτυρέεσκε περιφαυλὸς,
Ηνίκα ΚΛΑΥΔΗΡΟΝ κέκλετο κεν ἐπάξιον εἶδαρ
Οὐράνιον προφέρως ΛΟΥΚΚΗΣ ναέτῃσι πορίζειν,
Καὶ μετέπειτα λεῷ τῷ ναιετάοντι πολίχνην
ΔΗΛΙΤΙΟΥ πυρσοῖο καλοῦ πότε πλημμυρέουσαν,
Ενθα τε μυσιπόλους τοὺς εἰνὶ πάγοισι πελαστῆς

*3. ad Epor. Delit. d. 28. Jun. 1650.*

Ρήματα φάσκοντας θεόφαντα νομευέμεν ὀρθῶς.
Τοῦτο πανατρεκέως χαλεπώτατον ἔργον ἐτύχθη

*Officium Epopticum grave sanè & durum.*

Νηλέθμοισι μόγοις βεβαρημένον ἠδὲ μερίμνης,
Οἰχομένοις μὲν ἔνοις τιμῇ πεπυκασμένον ἁβρῇ,
Ἀλλὰ παρόντι χρόνῳ, σατανᾶο κρατοῦντος ἄκοσμον
Κόσμον, ἀπειρεσίοις πεπυκατμένον ἔχθεσιν ἔργον.
Τοὔνεκα χρηΐζει θεοπέμπτου πᾶς μὲν ἀρωγῆς
Ευπρεπέως ἐθέλων τοιοῦτο τελειέμεν ἔργον.

*INAUGURATIO publicè facta d. 28. 1652.*

Τοῦτο γὰρ πευκαλίμης φρεσὶ βυσσοδομευέμεν ἄρχω
Σήμερον ἀντιπέροις λεύσσων ἀναφανδὸν ὀπωπῆς
Τὸν μέσο ΚΛΑΥΔΗΡΟΝ θυμέλης προπάροιθε φαεννῆς
Ισάμενον, χαλεπήν τε νομὴν θεοτερπέος ἐσμοῦ,
Ηδὲ νομὴν ἄλλων ἀναφανδὰ λαβόντα νομήων.

*Apostrophe ad Dn. Confratres.*

Τοὔνεκεν εὐμενέως ξυμπάντεσσιν ὔμμι περαίνω,
Εν σωτῆρι ΘΕΩ πεφιλημένοι αἰὲν Ἀδελφοὶ;
Ὄφρα μετερχόμενοι στόματος μετ' ἐμεῖο, φρενὶ ἄντε
Πρὸς ΘΕΟΝ ὑψιθόωκον ὑπὲρ Εφόροιο νεοχμοῦ
Συζυγέας τοίοις ἐπέεσσι χύητε προσευχάς.

*PRECATIO ad SS. Trinit.*

Αστροδίαιτε Θεὸς, μερόπων βασιλεῦ τὰ τε
Αὐτογένεθλε Πάτερ, Παῖ τε παῖς ὁμοούσιε, Χεῖρε πάντων,
Ες φύσιν ἀνδρομέην ἁγνῆς διὰ μητρὸς ὁδεύσας,

Πνεῦμα

ΠΝΕΥΜΑ ΘΕΟΥ πάρα Πατρὸς ἰὸν καὶ Παιδὸς ἄληκτον,
Παντομέδουσα ΤΡΙΑΣ βασιλήιον εὖχος ἔχουσα,
Ἡμέες ἐκ στήθεσφι τεῒν φαιδρῆπιν ἰωῆς
*2. Eucharistica.* Ἄδομεν ἀενάων χαρίτων μελιηδέα μολπήν,
*pro Collectione Ecclesiæ.* Ὅττι σοὶ ἐν ΧΡΙΣΤΩ μερόπων χραισμήτορι πάντων
Ἐξέλεγες καθαρὴν κατὰ κόσμον ἀπείρονα ποίμνην,
Θρέμματα σεῖο νομῆς, ἀτεβοῦς ἢ καθάρματα κόσμου·
*Eph. 1, 4.* Τὴν τε διηνεκέως διὰ φοίνια τραύματα ΧΡΙΣΤΟΥ
*Psal. 100, 2.* Ὄμμασι δερκέσκεις γαλεροῖσιν ἐνίπλεος οἴκτου,
*1. Cor. 4, 13.* Καὶ παλάμησι σαφῶς ἐλπίδα ψιλέεσι πορίζεις,
Ἀσθενὲς ὧν γε δέμας, ψυχή, βίοτέ τε δέονται.
Παμπρώτιστα τεῒν μεγαλώνυμε δῶτορ ἐάων,
*per fideles doctores.* Μειλιχόθυμε ΘΕΟΣ, χαρίτων προσοφείλομεν ὕμνον,
*Joel. 2, 23.* Ὅττι φάλαγγι σέθεν πολυΐδμονας ἄνδρας ἰάλλεις,
Οἵπερ ἀληθείης θεοτερπέος ἄτραπον οἶμον
Ἠδὲ δικαιοσύνης ἐρικυδέος ἀτραπὸν ἁγνὴν
Πνεύματος ἰσοθέου πνοιῆς εἰδοῦσι διδάσκειν.
Ναὶ τόδε δῶρον ἔφυ πάντων ἀντάξιον ἄλλων!
*Ministeriū Ecclesiast. summè necessarium* Ναὶ τόδε δῶρον ἔφυ παντὸς πολυφέρτερον αἴνου!
Οἴκοθι θησαυρόν, χρυσόν τε καὶ ἄργυρον ἴσχειν
Εὐγενέας λίθακας, κειμήλια, χρήματα πολλά,
Αὐτὰρ ἐν ὑψιβαθέσι μυχοῖς κεκαλυμμένα γαίης,
Ἤκεν ἀγνωσσέσκειν τόπον, ἢ τρόπον ἐξανορύσσειν,
*Ezech. 18. v. 23.* Ἀσθενέει προφέρειν οἰκήτορι μηδὲν ὄνειαρ.
Τὼς ἐλεημοσύνην σέοθεν πολυκάρδιον αἰνὸν
Οὐδενὸς ἀνθρώπου θελέμεν μόρον, ἀλλὰ βιωτὴν,
Καὶ σέθεν οἰογενῆ φίλον ἧα διάνδιχα λώβης
Ἐκ Μαρίης γεγαῶτα, μόρον τε παθόντα βίαιον,
Δυσάμενον τύμβον, δαμάσαντα Δράκοντος ἀνιηροῦ
Κοιρανίην, ἀΐδαο δέμον πέρσαντα κνεφαῖον,
Ἀμφαδίην τ' ἀναβάντα πρὸς ἀγλαὸν οἶκον Ὀλύμπου
Ἀμφὶ κακορρέκτων παντάρκεα λύτρα κομίσσαι.
Μηδεμίην μογεροῖς μερόπεσσιν ὄνησιν ὀπάσσει,
Ἡνίκα τοιούτων ἀδαήμονές εἰσιν ἐάων,
Ἢ σάφα μὴ δεδάασι χαρίσματα ταῦτα προσάπτειν.

Τῶνε-

Τοὔνεκεν ἀτρεκέως δώρημα φέριστον ὑπάρχει
Ἄνδρας ἔχειν γλυκερῆς ἐπικηρύττοντας ἰωῆς
Τοῦ ΠΑΤΡΟΣ εὐμενίην, εὐεργεσίας τε ΚΟΡΟΙΟ
Τὰς τε κελεύοντας σθεναρὴν διὰ πίστιν ἀνάπτειν.
Ἠνίδε τοῖον ἔδω σέθεν κέαρ εὐμενὲς ἡμῖν
Ἄνδρα, δημοσιωύης καταμέσιον ἄνδρα περιπάσης
Οὐ μόνον οὐρανίην ὀρθῶς προδιδασκέμεν ὀμφὴν,
Ἀλλὰ διδάσκοντας πρυτανευέμεν εἰδότα πρήως.
Δόξα κλέος τε τεῖν δωρήματος ἀντὶ τοιούτου.
Δείκνυθι ΠΑΜΒΑΣΙΛΕΥ, Παππῶν πολυφίλτατε Πάπ-
Υἱέσιν ἄμμι σέθεν μάλα δὴ λιτόμεθα ταπεινοὶ, (πα,
Σέοθεν εὐμενίην, καὶ δηθὰ σάωσον ἀάπτοις
Εὐσθενίης σέοθεν παλάμῃ τὸν Ἄνδρα θεουργόν.
Αἴκε θέλῃσθα, διδοῦ τῷ λευσσέμεν ἤματα τόσσα,
Ὀγδωκονταέτης προπάτωρ ὅσα βλέψε, Καλήτωρ
Πεντηκονταέτης τοῦ θεσπεσίοιο λόγοιο,
Πεντηκονταέτης πόσις, ἠδὲ δυώδεκα τέκνων
Υἱωνῶν τ᾽ ἄμυδις τετόρων τριάκοντά τε πάππας.
Πνεύματος ἀχράντοιο χαρίσματα πάντα πίεζε
Δειμαλέῳ θυμῷ Θείκῆς ἀπάνευθεν ἀρωγῆς
Οὐδένα τὶς δύναται πόνον ἐκτολυπευέμεν ἀ-
Τοὔνεκα δὸς σοφίην ζαθέην ζαθέοιτ᾽ ἐνέησιν γνόν.
Πνευματικῷ πρηστῆρι τὸν ἀνθερεῶνα πετάσσας,
Ὡς νομικῇ σφύρᾳ κενεαυχένας ἶφι χαλέπτῃ·
Θελξινόοις τε λόγοις χθαμαλόφρονας ἶφις ἐπαίρῃ·
Καὶ δόναχ᾽ ἱερόγραφον ζαθέοις ἀνέμοισι κυβέρνα,
Ὡς ὀπίσω προτέροις ἐναλίγκια πολλὰ γράφῃσιν.
Αἰνετὰ γὰρ τέτελται περὶ τοῦ γλυκόεντος ΙΗΣΟΥ
Οὐνόματος, περὶ τῆς ἀκοῆς θεοθελγέος ὀμφῆς·
Οὐρανίης, περὶ τῶν στρατιάων Ἀγγελικάων,
Ἠδὲ περ᾽ Ἡσυχίης τὰ γεγραμμένα ποικιλοδάρου,
Οὕτω πάντα καλῶς, ὥσπερ θέμις ἐστὶν, ἀνύσσει.
Σώματος ἀρτεμίην τε καὶ ἀγλαόδωρον ὑγείαν

Ηυε

*2. Interpellatoria pro novo Ephoro, cui precamur*

*1. Longævitatem.*
*Avus Dn. Jacob. Clauderus Pastor apud Mosbac. prope Neostad. ad Orl. vixit annos 84. in ministerio verò & simul primo Conjugio LIV. numeravitq; XII liberos, XXXIV. Nepotes, atq; 1. proneptem. Avia quoq; abiit anno ætat. LXXXVI.*
*Avia materna pariter fere octogenaria adhuc est in vivis.*

*2. Sp. S. Charismata. 2. Corinth. 3. v. 5.*

*Edat plura similia prioribus, ut sunt*
*CONCIONES*
*De Nomine Jesu 1647.*
*De aud. verb. Dei 1647.*
*De Angelis 1648.*
*De Pace 1651.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0015-8

Za 5340 QK

*3. Corporis incolumitatem.* Ἠνὲ κέως μελέεσσιν ἐυτρέπτοισιν ὄπαζε
Τηλόθεν ἀσθενίην, νούσους τε καὶ ἄλγος ἀλέξων.
Ἄψεσι γὰρ νοσεροῖς κοπιᾶν χαλεπώτατον ἔργον.
*4. Necessaria τροφίσματα.* Δὸς καὶ δαψιλέως ταμιήια μεστὰ δεόντων
Πρὸς βιόειν βίοτον πολυόλβιον ἔνθα καὶ ἔνθα.
*Prov. 30. 8.* Ἄχθος ἀνιηρὸν πενίῃ δεδμημένον εἶναι.
Ἐν τῇ προσθήκῃ, ΘΕΟΣ, ὃς πολὺ μείζονα ῥέζεις
*5. Tori pignora. Eph. 3, 20.* Καὶ μερόπεσσιν ἐδώς, ἤπερ λιτόμεθα καὶ ἴδμεν,
Καρποφόρον ποίει λέχος, ἠδὲ φίλιστα δὸς αὐτῷ
Τέκνα γάνος προγόνων καὶ τερπνὸν ἄθυρμα γονήων,
Ὡς τῶν ΚΛΑΥΔΗΡΩΝ γένος ἀγλαὸν οὐχὶ τελευτᾷ,
Αὐτὰρ ἀέξηται ταχινῶς ποτὶ μύρια πολλά.
*6. Beatam tandem obitum.* Ὅττε ἢ λευγαλέου βιότοιο δρόμημα δράμασεν
Ἠδὲ πανομφαίου φάος ἠελίοιο λίπεσκε,
Δὴ τότε πορσαίνοις λαθικηδέα σώματι κοῖτον,
Ἀθάνατον δὲ πνοιήν, ἣ τῆς θεότητος ἀπορρώξ
*Nazianzenus.* Ἔπλετο νηλερκέως, στρατιὴ πτερόεσσα πενεστῶν
Ἀγγελικῶν φορέοι, θυμηδέσι στῆσιν ἐφετμῆς,
*Psal. 90. 11.* Ἐκ κρυεροῦ κόσμου, φρενοκηδέες ἦχι μέριμναι
Γυιοκόροι τε πόνοι, καὶ συμπλόκος οὐλαμὸς ἀτῶν
Παντοδαπῶν τε κακῶν, πρὸς ἀγάννιφον αἰθέρος αὐλήν,
Ἠχι κακοστυγέων ἀγορὴ χαρίεσσα προπάντων,
*Psal. 116, 11* Γῆθος ἄλυπον ἔχει, παναμέρμερον, οὔποτε ληκτὸν
Πᾶσιν ἀκεσσίπονον, νήριθμον ἀφεσμὸν ἐάων
Θεσπεσίων, τιμῆς τε κλυτῆς ἀμετάτροπον ἄνθος.
Ὥσκεν ἀτέρματον χρόνον οὐρανίοισιν ὁμόζυξ
Γηθοσύνης μετέχῃ παναέρμονος ἠδὲ γαλήνης.

*FINIS.*

VD17
13.C
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0016-3

Qk. 239. 5.

Za 5340

B...

X 204 7905

*ADMO... ...DI*

# Dn. JACO... ...DERI,

## SS. Theolo... ...issimi,

Ecclesiæ Deliti... ...on Vici-
naru...

INA...

*solenn...*

M. ANDREA... ...ERBELI-
nensis & ...

ti...

BIBLIOTHECA PONICKAVIANA

UNIVERSITÄTS-BIBLIOTHEK HALLE (SAALE)

*Lip...*
Exscrib...

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-74634-p0017-8